# 03 OCTOMBRIE ATANASIE SIMONOPETRITUL

# PARACLISUL SF.IERARH-MUCENIC DIONISIE AREOPAGITUL, EPISCOPUL ATENEI



SIMONOS PETRAS,2017



www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΔΙΟΝΥΣΙΟΝ ΤΟΝ ΑΡΕΟΠΑΓΙΤΗΝ

(οὗ ἡ μνήμη τῇ 3ῃ Ὀκτωβρίου)

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος ὑπὸ Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου, Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας φιλαγίῳ αἰτήσει τῆς εὐλαβεστάτης κ. Μαρίας Τζουρᾶ.

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142.*

Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ...

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

www.tezaurliturgic.ro

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου· καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.



Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς

θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

τό, Θεὸς *Κύριος* καὶ τὰ *Τροπάρια*.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ...

Ὥσπερ ἰχθὺς ἁλιευθεὶς ὑπὸ Παύλου τὴν τῶν εἰδώλων ἀπεστράφης λατρείαν, καὶ τοῦ Σταυροῦ πρέκρινας μωρίαν ὡς σοφός· ὅθεν Διονύσιε, ἰσαγγέλως βιώσας, πλήρης Θείου Πνεύματος, ἱεράρχης ἐφάνης, καὶ μαρτυρήσας διὰ τὸν Χριστόν, μνήσθητι πάντων, τῶν νῦν προσπιπτόντων σοι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο, πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν

14

ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου·

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

15

www.tezaurliturgic.ro

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου



σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου

www.tezaurliturgic.ro

τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ·

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

*Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστοιχίς·*

**«Ἱκέτευε ὑπὲρ ἡμῶν Χριστῷ, Ἀρεοπαγῖτα. Ἀ(θανάσιος)».**

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. *Ὑγρὰν διοδεύσας.*

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰσάγγελον βίον ζήσας ἐν γῇ, ὑπὲρ τῶν εἰσέτι, πολεμούντων πρὸς τὸν ἐχθρόν, ἱκέτευε Ἀρεοπαγῖτα, ὅπως αὐτοῦ τῶν παγίδων ἐκφύγωμεν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.



Καλόν σε ἁλίευμα ἐφευρών, ἀπόστολος Παῦλος, τῇ σαγήνῃ τοῦ Ἰησοῦ, συνέκλεισε καὶ τῇ Ἐκκλησίᾳ, παρέδωκέ σε καινὸν Διονύσιε.

Δόξα Πατρὶ καὶ Υἱῷ...

Ἐπέτυχες Πάτερ τοῦ θησαυροῦ, ὅνπερ ἐπεπόθεις, καὶ ὀπίσω τοῦ Ἰησοῦ, βαδίσας τὴν κάραν σου ἐτμήθης, ὑπὲρ πιστῶν τὸν Θεὸν ἱλεούμενος.

Καὶ νῦν... Θεοτοκίον.

Τῇ θείᾳ μορφῇ σου καταπλαγείς, Ἀρεοπαγίτης, κατενόησε τὸ βαθύ, τῆς Χριστοῦ σαρκώσεως Παρθένε, ὅπερ πιστοῖς θαυμασίως ἐξέθετο..

Ὠδὴ γ΄. *Οὐρανίας ἁψῖδος.*

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐκ τοῦ ζόφου εἰδώλων, πρὸς φῶς Χριστοῦ ἔδραμες, πάτερ Διονύσιε Παύλου, θείῳ κηρύγματι, ὅθεν ἀξίωσον, τοὺς σὲ γεραίροντας πόθῳ, τῷ φωτὶ πορεύεσθαι, τῆς θείας γνώσεως.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπαχθεὶς ἑκουσίως, τοῖς Ἰησοῦ δόγμασιν, ὤφθης Διονύσιε μέγας, μύστης τῆς Χάριτος, ἣν πᾶσι πάρεχε, τοῖς θαυμασταῖς τοῦ σοῦ βίου, ὅπως ὁδηγώμεθα, πρὸς θεῖον ἔρωτα.

Δόξα Πατρὶ καὶ Υἱῷ...

Ἐν καιρῷ θείου Πάθους, τὴν ἐκτροπὴν ἔγνωκας, φύσεως τῶν νόμων παμμάκαρ, καὶ συνεπέρανας, ὅτι Θεὸς πάσχει ᾧπερ, ἀκλονήτως σύνδησον, τοὺς σὲ θαυμάζοντας.



Καὶ νῦν... Θεοτοκίον.

Ὑπεραίρει τὴν γνῶσιν, τῶν θεϊκῶν πράξεων, ὁ κρυφιομύστης Κυρίου, σοφῶς ἐκθέμενος, Πάναγνε Δέσποινα, οἰκονομίαν τοῦ Λόγου, ὡς ὀργάνου ἔχοντος, Σὲ τὴν πανάμωμον.

Διάσωσον, τοὺς ἀσφαλῆ σε προστάτην προβαλλομένους, ἀπὸ ποικίλων κινδύνων κλεινὲ Διονύσιε, καὶ πρέσβευε ὑπὲρ ἡμῶν, τῷ φιλανθρώπῳ Κριτῇ καὶ Δεσπότῃ.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. *Πρεσβεία θερμή.*

Ὡς θεῖον ἰχθύν, ὁ Παῦλός σε ἐζώγρησε, τὸ φῶς τοῦ Χριστοῦ, βαλὼν

www.tezaurliturgic.ro

Πάτερ ὡς ἄγκιστρον, διὸ πλάνην εἰδώλων σοφῶς καταλέλοιπες, καὶ Ἐκκλησίας γέγονας ποιμήν, ὦ Ἀρεοπαγῖτα, σοφὲ Διονύσιε.

Ὠδὴ δ΄. *Εἰσακήκοα, Κύριε.*

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πυρωθεὶς θείῳ ἔρωτι, κόσμου Διονύσιε ἐναπέρριψας, τὴν σοφίαν προελόμενος, τοῦ σταυροῦ μωρίαν τὴν σωτήριον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Εἰς οὐδὲν Διονύσιε, τὴν τοῦ κόσμου ἔθηκας περιφάνειαν, τοῦ Κυρίου τὴν ταπείνωσιν, ἐνδυθεὶς ὡς ἔνδυμα θεώσεως.

Δόξα Πατρὶ καὶ Υἱῷ...



Ῥῦσαι πάσης κακώσεως, τοὺς ἐξαιτουμένους σου Διονύσιε, καὶ ἀγάπην ἐγκατάστησον, ταῖς ψυχαῖς αὐτῶν Θεοῦ ἀσάλευτον.

Καὶ νῦν... Θεοτοκίον.

Ἡδονῶν πῦρ κατάσβεσον, τῶν ψυχοβλαβῶν Ἁγνὴ ταῖς πρεσβείαις σου, καὶ Χριστοῦ μνήμην ἐγκαίνισον, τὴν πανηδεστάτην τοῖς ὑμνοῦσί σε.

Ὠδὴ ε΄. *Φώτισον ἡμᾶς.*

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μόνον τὸν Χριστόν, ἀγαπᾶν ἡμᾶς ἀξίωσον, ὦ Διονύσιε καὶ θνήσκειν δι᾿ Αὐτόν, σαρκὸς νεκροῦντας, τὰ ψυχόλεθρα θελήματα.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὥσπερ χοῦν τῆς γῆς, κόσμου δόξαν λογισάμενος, Διονύσιε τῆς δόξης τοῦ Θεοῦ, πλήρης ἐγένου, ἧς μετόχους, καὶ ἡμᾶς πάτερ ἀνάδειξον.

Δόξα Πατρὶ καὶ Υἱῷ...

Νοῦν τῶν κοσμικῶν, ἐκκαθάρισον προλήψεων, ὦ Διονύσιε καὶ μνήμην τοῦ Χριστοῦ, ὡς θεῖον δῶρον, δὸς τοῖς πόθῳ ἀνυμνοῦσί σε.

Καὶ νῦν... Θεοτοκίον.

Χεῖράς σου σεπτάς, πρὸς Υἱὸν γλυκύν σου ὕψωσον, καὶ ἱκέτευε ὑπὲρ Χριστιανῶν, πειραζομένων, ὑπ' ἐχθροῦ Παρθένε Ἄχραντε.

Ὠδὴ στ΄. *Τὴν δέησιν.*

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥημάτων, τὴν κεκρυμμένην δύναμιν, μυστικαῖς σου συγγραφαῖς θεῖε



Πάτερ, κατανοεῖν, καὶ τὸν βίον ἰσάζειν, αὐταῖς ἡμᾶς ταῖς εὐχαῖς σου ἀξίωσον, ὅπως ἐγγύτερον Χριστῷ, πλησιάζειν καὶ οὕτως εὐφραίνεσθαι.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱκέται σου, ταπεινοὶ προσπίπτομεν, Διονύσιε Χριστοῦ ἱεράρχα, καὶ ἐκ ψυχῆς, σοῦ δεόμεθα ὅπως, ἐξιλεώσῃς Αὐτὸν ταῖς πρεσβείαις σου, ἵνα ἐσμὸν ἁμαρτιῶν, συγχωρήσῃ ἡμῖν ὡς Φιλάνθρωπος.

Δόξα Πατρὶ καὶ Υἱῷ...

Στερέωσον, τοῖς Χριστοῦ προστάγμασι, τοὺς τιμῶντάς σε τρισόλβιε Πάτερ, καὶ ἐν χαρᾷ, καταξίωσον ὅπως, αὐτοῦ πληροῦν ἐναργῶς τὰ θελήματα, ὡς ἄγγελοι ἐν οὐρανοῖς, καθὼς γράφει σοφῶς ἐν ταῖς βίβλοις σου.

Καὶ νῦν... Θεοτοκίον.

www.tezaurliturgic.ro

Ταῖς πτέρυξι, σῆς ἀγάπης Δέσποινα, ὡς στρουθία καταφεύγομεν πάντες, ἵνα ἐχθροῦ, ἀποφύγωμεν βέλη, τὰ καθ' ἡμῶν ἀενάως ῥιπτόμενα, καὶ οὕτω πάντες ἀβλαβεῖς, σὴν μητρῴαν ἀγάπην δοξάζωμεν.

Διάσωσον τοὺς ἀσφαλῆ σε προστάτην προβαλλομένους, ἀπὸ ποικίλων κινδύνων κλεινὲ Διονύσιε, καὶ πρέσβευε ὑπὲρ ἡμῶν, τῷ φιλανθρώπῳ Κριτῇ καὶ Δεσπότῃ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον.

Ἦχος β΄. *Προστασία τῶν Χριστιανῶν.*

Τὴν μωρίαν σταυροῦ Διονύσιε, τῆς σοφίας τοῦ κόσμου προέκρινας,



καὶ τῷ Παύλῳ, μαθητευθεὶς τὴν πίστιν τοῦ Χριστοῦ, σεπτὸς γέγονας ποιμήν, καὶ ἱεράρχης Ἀθηνῶν, βίον ἔχων ἰσάγγελον. Ὅθεν καὶ μαρτυρήσας, εἴληφας πλείστην χάριν, καθικετεύειν ἐκτενῶς, ὑπὲρ ὅσοι τιμῶσί σε.

Προκείμενον.

*Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.*

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

## Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ἰωάννην

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν

www.tezaurliturgic.ro

ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν Πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Δόξα Πατρὶ καὶ Υἱῷ...



Ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Εἶτα ψάλλομεν τὸ προσόμοιον.

Στίχ. Ἐλέησόν με ὁ Θεός...

Προσόμοιον.

Ἦχος πλ. β΄. *Ὅλην ἀποθέμενοι.*

Πλάνην τὴν πολείδωλον, πτύσας ὡς ἤκουσας Παῦλον, πάτερ Διονύσιε, τῷ Χριστῷ συνήρμοσαι καὶ μυούμενος, οὐρανοῦ μυστήρια, ὤφθης ποιμενάρχης, Ἀθηναίων θεοφώτιστος, καὶ θείαν κάραν σου ξίφει ὡς ἀμνὸς ἀποτέτμησαι. Ὅθεν καθικετεύομεν,

www.tezaurliturgic.ro

Ἀρεοπαγῖτα θεσπέσιε· τῷ Χριστῷ ἀπαύστως, ἱκέτευε δοθῆναι τοῖς πιστῶς, μνήμην ἁγίαν τιμῶσί σε, χάριν τὴν τοῦ Πνεύματος.

Ὠδὴ ζ΄. *Οἱ ἐκ τῆς Ἰουδαίας...*

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς ἰσάγγελον ἔχων, θεωρίαν καὶ βίον πάτερ κατώρθωσας, σοφῶς καθυπογράψαι, τῶν οὐρανίων νόων, θεϊκὴν διακόσμησιν, ὧν μιμητὰς σαῖς εὐχαῖς, τοὺς ὑμνητάς σου δεῖξον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀθηναίων προέστης, ὡς ποιμὴν χριστοκάρδιος Διονύσιε, καὶ τούτους ἀποστήσας, τῆς πλάνης τῶν εἰδώλων, θείους οἴκους ἀνέδειξας, μεθ' ὧν ναοὺς καὶ ἡμᾶς, σεπτοὺς Δεσπότου δεῖξον.



Δόξα Πατρὶ καὶ Υἱῷ...

Ῥημάτων σου τῶν θείων, ἔχοντες τὰς βίβλους, ἃς ὁδηγίᾳ συνέθου τοῦ Πνεύματος, δεόμεθά σου Πάτερ, Χριστὸν ἐν ταῖς καρδίαις, μορφωθῆναι πρεσβείαις σου, καὶ Παραδείσου τυχεῖν, πατρίδος τῶν Ἁγίων.

Καὶ νῦν... Θεοτοκίον.

Ἐκαίνισας τὸν κόσμον, τῇ σεπτῇ γεννήσει, τοῦ Θεοῦ Λόγου Πανάμωμε Δέσποινα, οὗ Ἀρεοπαγίτης, ἐδείχθη ἱεράρχης, καὶ μαρτύρων συνόμιλος, πάντων πιστῶν δὲ θερμός, πρὸς τὸν Δεσπότην πρέσβυς.

Ὠδὴ η΄. *Τὸν βασιλέα...*

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐρανοψύχους, σοὺς ὑμνητὰς δεῖξον Πάτερ, ὁ οὐρανίων ταγμάτων θεο-

σόφως, ἐκτιθεὶς ἐγγράφως, θείᾳ ἀποκαλύψει.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πολλὰ μοχθήσας, ὑπὲρ τῶν τέκνων σου Πάτερ, μὴ ἐλλίπῃς πρεσβεύειν τῷ Δεσπότῃ, ὑπὲρ τῶν αἰτούντων, σὴν θείαν μεσιτείαν.

Δόξα Πατρὶ καὶ Υἱῷ...

Ἄνω ὑψώσας, νοῦν καὶ καρδίαν σου Πάτερ, ὠνομάσθης πτηνὸν οὐρανοβάμον, ὅθεν ἡμῖν πόθον, ἔμβαλε οὐρανίων.

Καὶ νῦν... Θεοτοκίον.

Γῆν καρποφόρον, σῶν ὑμνητῶν τὰς καρδίας, Θεοτόκε, δεῖξον σαῖς πρεσβείαις, ὅπως τῷ Κυρίῳ, ὀφθῶμεν εὐαρέστως.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.



Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰάτρευσον πληγάς μου, ἅς περ ἀνοήτως, ἐμῇ ψυχῇ Διονύσιε ἤνεγκα, καὶ τῆς ὁδοῦ τοῦ Κυρίου, σφόδρα ἐμάκρυνα.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν φλόγα τῆς ἀγάπης, ἄσβεστόν μου τήρει, πρὸς τὸν Δεσπότην σοφὲ Διονύσιε, ὥστε χαρᾷ ὑπερβαίνειν, βίου προσκόμματα.

Δόξα Πατρὶ καὶ Υἱῷ...

Ἀξίωσόν με Πάτερ, ὥσπερ σὺ τὴν ἄκαραν, ζωὴν προσφέρειν Κυρίῳ ἑκάστοτε, ὥστε τυχεῖν Παραδείσου, ὦ Διονύσιε.

Καὶ νῦν... Θεοτοκίον.

Ἀνάνηψίν μοι δίδου, ἐκ τῆς ἀμελείας, Παρθενομῆτορ σεπταῖς ἱκε-

www.tezaurliturgic.ro

σίαις σου, καὶ ἀληθοῦς μετανοίας, τρόπους παράσχου μοι.

*εἶτα τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Μεγαλυνάρια.

Χαίροις Διονύσιε ἱερέ, ὁ τοῖς λόγοις Παύλου, ἀγρευθεὶς εἰς ζωὴν Χριστοῦ, καὶ σταυροῦ μωρίαν, τῆς κοσμικῆς σοφίας, προκρίνας Ἀθηναίων, ποιμὴν γεγένησαι.



Πνεύματι ἁγίῳ ὁδηγηθείς, ἔγνως οὐρανίων, μυστηρίων πάτερ βυθόν, καὶ ἀγγέλων τάξεις, γνωστὰς τῇ Ἐκκλησίᾳ, ἐποίησας γραφαῖς σου, ὦ Διονύσιε.

Θεῖος ἱεράρχης τῶν Ἀθηνῶν, Ἀρεοπαγῖτα, ἀνεδείχθης ζήλῳ πολλῷ, τοὺς πιστοὺς ποιμάνας, καὶ τῷ Χριστῷ συνάψας, μαρτυρικῶς τὸν βίον, τὸν σὸν ἐτέλεσας.

Πᾶσαν τὴν ζωήν σου Κυρίῳ δούς, καὶ σεπτήν σου κάραν, τὴν κοπεῖσαν μαρτυρικῶς, Τούτῳ θαυμασίως ἀνέθηκας ὡς δῶρον, δρᾶσιν ἐπισφραγίσας, ὦ Διονύσιε.

Φύλαττε τιμῶντάς σου εὐλαβῶς, τὴν ἁγίαν μνήμην, Διονύσιε ἱερέ, καὶ Χριστοῦ ἀγάπην, ἔμβαλε ταῖς καρδίαις, ὅπως ἀξιωθῶμεν, ζωῆς τῆς κρείττονος.

www.tezaurliturgic.ro

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς· οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν, καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς. Πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ...

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς



ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομάσου ἐπικεκλήμεθα.

Καὶ νῦν...

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.

Γνῶσιν ἀποῤῥίψας κοσμικήν, καὶ εἰδώλων πλάνην, ἀποσεισάμενος, ὤφθης Διονύσιε, οἶκος τῆς χάριτος, καὶ ποιμὴν ἀνηγόρευσαι, σοφὸς Ἀθηναίων, ξίφει κάραν τέτμησαι, στέφος

www.tezaurliturgic.ro

μαρτύρων λαβών· ὅθεν ὡς πλουτῶν παῤῥησίαν, ὑπὲρ τῶν τιμώντων σε πόθῳ, τὸν Δεσπότην πάντοτε ἱκέτευε.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι' εὐχῶν.



## Στίχοι

Νύξον τὰς ψυχὰς τῇ ἀγάπῃ Κυρίου,
Πάτερ Διονύσιε, τῶν σὲ τιμώντων.

Ἐγράφη, σὺν Θεῷ ἁγίῳ, ὁ παρὼν Παρακλητικὸς κανὼν ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας Ἁγίου Ὄρους Ἄθω, τῇ 4.7.2017.



